οὗ βροντῇσι λόγος, βίος εἴκελος ἀστεροπῇσιν,
ἀκτῖσιν δ' ἀρεταὶ ὥσπερ ἅπασι χέει·
ζωογονεῖ κραδίας τε βροτῶν αἰσχροῖσι ταχείσας·
ἥλιος οὖν ἔργοις αἶ καὶ ἔτεσσιν ἔοι!

**Feuillets 4 et 5. Sont occupés par une préface sans intérêt, dont voici l'intitulé :**

Ἐμμανουήλ, ὁ εὐτελὴς πρεσβύτερος καὶ εἰκονογράφος, τοῖς εὐσεβέσι καὶ φιλομάρτυσι χριστιανοῖς χάριν καὶ ἔλεος παρὰ τοῦ ἑνὸς τρισυποστάτου καὶ ὁμοουσίου θεοῦ.

**Feuillet 6 (recto et verso) :**

## Εἰς τὸν ἅγιον μεγαλομάρτυρα Γοβδελαᾶν, υἱὸν Σαβωρίου, τοῦ σοφωτάτου Ἱλαρίωνος ἱερομονάχου τοῦ Κιγάλα.

Γοβδελαᾶ πολύτλα, κλέος ἄφθιτον οὐρανιώνων,
ἔκγονε Περσιάδων σκηπτροφόρων γονέων,
τίπτε τεὴν φονίοισιν ὑποβληθεῖσαν ὀλέθροις
οὐκ ἐνέδως βιοτὴν, ἀλλὰ σαθροῖς καλάμοις;
Οὔ σε, μάκαρ, ῥοίναισι καταξάναντες ἀκάνθαις
τετράκις, οὐ νεύροις ἤλασαν ἐκ βιότου·
οὐ κτάνον ἀμφὶ τένοντας ἀποσπάσαντες ἱμάντας
μαρτυρικόν τε κάρας δέρμα μεταυχενίης.
Οὐ θάνες, ὅττε μύλωνας ἀπερρίζωσαν ὀδόντας,
πάντων δ' ἄλγος ἔτλης σκαπτομένων ὀνύχων·
οὐδὲ λέβης κατέπρησε πυριφλέκτοισι καχλάζων,
ὀστέα δ' οὐκ ἐάγη τεκτονικῷ κοχλίᾳ·
οὔ σε ποσὶν πατέοντες ὅλον νύχος ὤλεσαν ἵπποι,
οὐ φρουρᾶς χρονίης τρυχόμενόν σε πόνοι.
Οὐκ ὀβελὸς πυρίκαυστος ἀπέκτανεν ὦτα διήκων,
οὐ φθάρε μασχαλίδων πυρφόρα κύκλα δέμας.
Οὔτε δ' ἐπ' ἀγκίστροισι καθηλώσας σέο νῶτα,
οὔτε πάλιν χεῖρας βάρβαρος ἤνυσέ τι.